# ΠΡΑΞΕΙΣ
## ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ.

# ACTA
## APOSTOLORVM.

Vænundantur Louanij apud Bartholomæum Grauium, sub sole aureo.

4017(3)

# ΠΡΑΞΕΙΣ

## ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ.

τ

ΤΟΝ μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων ὦ θεόφιλε, ὧν ἤρξατο ὁ ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, ἄχρι ἧς ἡμέρας, ἐντειλάμενος τοῖς ἀποστόλοις, διὰ πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη, οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν, ἐν πολλοῖς τεκμηρίοις, δι᾽ ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ, καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς, ἣν ἠκούσατέ μου, ὅτι ἰωάννης μὲν

σετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέ-
ψετε, καὶ οὐ μὴ ἴδητε, ἐπαχύνθη γὰρ ἡ καρδία
τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν,
καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μή-
ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν
ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέ-
ψωσι, καὶ ἰάσωμαι αὐτούς. γνωστὸν οὖν ἔστω
ὑμῖν, ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τὸ σωτή-
ριον τοῦ θεοῦ, αὐτοὶ καὶ ἀκούσονται. καὶ ταῦτα
αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ ἰουδαῖοι, πολ-
λὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν. ἔμεινε
δὲ ὁ παῦλος διετίαν ὅλην ἐν ἰδίῳ μισθώ-
ματι. καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευ-
ομένους πρὸς αὐτόν, κηρύσσων τὴν βασιλείαν
τοῦ θεοῦ, καὶ διδάσκων τὰ περὶ τοῦ κυρίου ἰησοῦ
μετὰ πάσης παρρησίας ἀκωλύτως.

ΠΡΑΞΕΩΝ ΤΕΛΟΣ.

Louanij ex officina Rutgeri Rescij,
Quinto Calend. Octob.
A.M.D.XXXI.
Sumptibus eiusdem, ac Bartholomaei Grauij.